www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΜΕΤΕΩΡΙΤΗΝ

Ἅγιον Ὄρος

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ**
**ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΜΕΤΕΩΡΙΤΗΝ**

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

## *Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

### *Ἦχος δʹ. Ὁ ὑψωθείς.*

Τῶν Μετεώρων τὸν κλεινὸν πατριάρχην, καὶ ἡσυχίας θεοείκελον οἶκον, τῶν ἀσκητῶν τὸ πρότυπον καὶ λύχνον μοναστῶν, δεῦτε ἱκετεύσωμεν, Ἀθανάσιον πόθῳ, ὅπως τὰς εὐχὰς αὐτοῦ, ὡς Πατρὸς πορισθῶμεν, καὶ γὰρ ἰσχύει δέησις πολύ, ἐνεργουμένη, δικαίου πρὸς Κύριον.

### *Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους,
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

### *Εἶτα ὁ Νʹ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*“Ἀθανασίῳ θαυμαστῷ αἴτησις ἐκ τεκνίου. Ἀ(θανάσιος”.*

Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀθάνατον ἔχων διαγωγήν, ἐμοὶ καταργοῦντι, Πάτερ τόπον ὑβριστικῶς, παράσχου τὴν νῆψιν ὅπως τύχω, τῶν ἀγαθῶν τοῦ Χριστοῦ Ἀθανάσιε.

Θεῷ ἀνετέθης ἀπὸ παιδός, Πάτερ ξενιτείαν, ἕως τέλους σου ᾐσκηκώς, ἣν χάρισαι πᾶσι φοιτηταῖς σου, καὶ τῷ Χριστῷ ἀχωρίστως συνένωσον.

Αἰχμάλωτον ὄντα με τῶν παθῶν, ὁ αἰχμαλωσίας, τῆς προσκαίρου Πάτερ ῥυσθείς, ἀξίωσον τῇ ἐλευθερίᾳ, τοῦ Ἰησοῦ μου ἀεὶ πολιτεύεσθαι.

Θεοτοκίον

Νοσοῦσαν τὴν φύσιν ἡμῶν Ἁγνή, τῷ σεπτῷ σου τόκῳ, ἠλευθέρωσας ἐκ φθορᾶς, καὶ γὰρ ἰατρὸς ψυχῶν σωμάτων, ὁ Ἰησοῦς μου ὑπάρχει ἀδάπανος.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἀκατάπαυστον ἔχων, τὴν πρὸς Θεὸν ἔφεσιν, τόπους διαμείψας ποικίλους, πρὸς τὴν ἀρτίωσιν, Πάτερ μου πάνσοφε, τῆς τοῦ Θεοῦ ἐπιστήμης, ἔσω ἐγκατάστησον, ζῆλον ἀμείωτον.

Σταθεράν σου τὴν γνώμην, διακρατῶν Ὅσιε, πάντων γεηρῶν τὰς παγίδας, καὶ δελεάσματα, ὡς παρερχόμενα, καταπεφρόνηκας μόνον, τὸν Χριστὸν θεώμενος, Ὃν μοι ἱλέωσαι.

Ἱκετεύω σε Πάτερ, τὸ τοῦ Θεοῦ θέλημα, πάντοτε ζητεῖν με καὶ πράττειν, εὐχαῖς σου στήριξον, καὶ πῦρ ὑπάναπτε, τῆς φιλοθέου μου γνώμης, ὦ θεοφιλέστατε, ὕλῃ πρεσβείας σου.

Θεοτοκίον

Ὦ Πανύμνητε Μῆτερ, ὅσοι τὴν σὴν ᾔτησαν, θείαν προστασίαν καὶ σκέπην, πάντας ἀνήγαγες, πρὸς ὕψη γνώσεως, τοῦ σοῦ Υἱοῦ καὶ Δεσπότου, ὡς τὸν Ἀθανάσιον, λάτρην σου ἔνθεον.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Ὅσιε πάτερ, τοὺς εἰς σὲ ἐκ καρδίας προστρέχοντας, καὶ λύτρωσαι δαιμονικῆς, ἐπηρείας καὶ πλάνης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβεία πατρός, ἰσχύει πρὸς Κύριον, ζητοῦντος θερμῶς, τῶν τέκνων ἐπισκίασιν, διό σοι προστρέχομεν, ὦ φιλόστοργε θεῖε Ἀθανάσιε, σὴν ποίμνην φύλαττε ἀεί, στηρίζων αὐξάνων εὐλογίαις σου.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Θεωρῶν ματαιότητα, κόσμου τοῦ παρόντος σοφῶς ἐμάκρυνας, ἐκζητῶν Χριστὸν τὸ μόνιμον, ἐν Ὧι στήριξόν με Πάτερ Ὅσιε.

Ἄθω Πάτερ κατέλαβες, τὴν τῶν μοναζόντων θείαν ἀκρόπολιν, καὶ τὸ Σχῆμα ὑπενδέδυσαι, ὅπερ καὶ ἡμᾶς φοροῦντας φύλαττε.

Ὑψιθώρως ἐτέλεις σου, τὴν ὑπακοὴν ὡς κτῆνός τι ἔλλογον, ἐκδιδάσκων Ἀθανάσιε, ἐν ὑπακοῇ γνησίᾳ φέρεσθαι.

Θεοτοκίον

Μητροπάρθενε ἄλλον σου, ἄνθος Περιβόλου τοῦ σοῦ ἐξήνθησεν, Ἀθανάσιος ὁ μέγιστος, οὗ εὐχαῖς κἀμὲ ἄνθος σου ἔνδειξον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ἅγνισον ἡμᾶς, Ἀθανάσιε ἁγνότατε, ἀγγελικὴν ἐπιδειξάμενος ζωήν, τοὺς τῶν Ἀγγέλων, ὑπελθόντας Σχῆμα ἅγιον.

Στύλος προσευχῆς, ἀνδριάς τε θεονούστατος, ἀγρυπνητὴς ὡς ἀκατάβλητος, δίδου χάριν, σὲ τιμῶσιν Ἀθανάσιε.

Τέτρωται δεινῶς, τῇ ἀσάρκῳ πολιτείᾳ σου, ἐσμὸς δαιμόνων Ἀθανάσιε, οὓς ὑποτάξας, καθυπόταξον τοῖς δούλοις σου.

### Θεοτοκίον

Ὥσπερ κλῆρος σός, ἀνετέθη τὸ Μετέωρον, θεοχαρίτωτε Παρθένε Ἁγνή, ὅπερ φρούρει, ταῖς πρεσβείαις τοῦ Ὁσίου σου.

## Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Ἀνῆλθες, σὺν πατρὶ ὁσίῳ σου, Γρηγορίῳ τῷ κλεινῷ εἰς τὸν Στύλον, νῆψιν ποθῶν, καὶ εὐχὴν ἀκροτάτην, ἥπερ ὡς μέλι κηρίου τὸν φάρυγγα, γλυκάναι τὸν πνευματικόν, καὶ ἡμῶν σαῖς εὐχαῖς Ἀθανάσιε.

Ἱμείρομαι, ἀπαθείας Ὅσιε, ἀλλὰ πάλιν ἐν τοῖς πάθεσι πίπτω, ὅθεν βοῶ· ἀπαθείας τῆς ἄκρας, ὁ ἐμπειρότατος Πάτερ διδάσκαλος, ἐμφύτευσόν μοι μυστικῶς, τῆς καθάρσεως ἄριστον μάθημα.

Τὴν ἔννοιαν, τοῦ θανάτου σύμβιον, σὺ μὲν ἔσχηκας υἱὲ Ἀθανάτου, ἐγὼ δὲ τί, ὁ πανάθλιος πράξω, ἀναισθητῶν καὶ μηδόλως φροντίζων μου, τὴν ἔξοδον τὴν φοβεράν, ἐν ᾗ πρέσβυς μοι φάνηθι Ὅσιε.

### Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Ἡνίκα σοι, καταφεύγω Δέσποινα, ὡς πτωχὸς τὸν θεῖον πλοῦτον λαμβάνω, σῆς μητρικῆς, προστασίας καὶ σκέπης, καὶ μυστικῆς χαρμονῆς προμηνύματα, ὡς ἕξω Σέ μου κραταιάν, ἐν τῇ ὥρᾳ τῆς δίκης συνήγορον.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Ὅσιε πάτερ, τοὺς εἰς σὲ ἐκ καρδίας προστρέχοντας, καὶ λύτρωσαι δαιμονικῆς, ἐπηρείας καὶ πλάνης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.

Ἡ χορεία τῶν σῶν φοιτητῶν ᾿Αθανάσιε, πρέσβυν ἔχει θερμὸν πρὸς Κύριον ἑκάστοτε· ὅθεν πόθῳ, πολλῷ φωνεῖ σοι ὡς καθηγητῇ· Χριστῷ πρέσβευε ὑπὲρ ἡμῶν, τῆς κληρουχίας σου σοφέ, ἣν εὐχαῖς σου συνήγαγες. Λῦε ἐχθροῦ ἐφόδους, δίδου εἰρήνην θείαν, ὡς Μετεώρου κραταιός, ἀντιλήπτωρ καὶ ὑπέρμαχος.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον (ια᾽ 27 - 30)*

Εἶπεν ὁ Κύριος· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου .
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὅλην ἀναθέμενος, τὴν σὴν ζωὴν τῷ Κυρίῳ, ἀπὸ βρέφους Ὅσιε, τοῦτον καὶ πατέρα σου καὶ μητέρα σου, ἔσχες Ἀθανάσιε, κόσμου πάντη ξένος, τῆς ψυχῆς ὅθεν ἀνήγαγες, τὰς ἀναβάσεις σου, κούφως πρὸς Θεοῦ τὴν ἐπίγνωσιν. Διό σε ἱκετεύομεν, οἱ ἐν Μετεώρῳ ἀσκούμενοι· τὴν σὴν Μάνδραν Πάτερ, περίσῳζε παντοίων πειρασμῶν, τοῦ ἐν Θαβὼρ ἀναλάμψαντος, μῦστα ἐνθεώτατε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σταυρὸν ἔχων εἰς χεῖράς σου, εἰ καρδίαν ἔχεις σωθῆναι δύνασαι, τρισσῶς εἰπών μοι Πάτερ, ὑφῆψάς μου τὸν ζῆλον, ὃν ἀμείωτον τήρησον, ἵνα βοῶ ἐκτενῶς, Χριστὲ εὐλογητός εἶ.

Ἰατρὸς ἀμελούντων, καὶ ἀλείπτης ἐκ πείρας σῇ ποίμνῃ γέγονας, διό σε ἱκετεύει· μὴ ἐλλείπῃς στηρίζων, καὶ νῦν Πάτερ τὰ τέκνα σου, ἵνα βοῶμεν Χριστῷ, σὺ ὁ Εὐλογητὸς εἶ.

Σταλαγμοὶ τῶν δακρύων, μοναστaῖς ὥσπερ δρόσος εἰσίν αὐξήσεως, διό σε δυσωποῦμεν, ἀειδάκρυτε Πάτερ, ὀχετοὺς ἡμῖν δώρησαι, ὡς καθαρθέντες βοᾷν, Χριστὲ εὐλογητὸς εἶ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Θεοτοκίον

Φωτισμὸν ὅταν λάβῃ, ἡ ψυχὴ Θεοτόκε τοῦ Θείου Πνεύματος, ὡς σκότος βαθυτάτης, νυκτὸς τὸν βίον τοῦτον, θεωρεῖ ὥσπερ δίκαιον, διὸ τὸ φῶς σοῦ Υἱοῦ, εὐλογητοῦ μοι δίδου.

Ὠιδὴ η'. Τὸν βασιλέα.

ΚἼριδα πάτερ, τοῦ ἐν Θαβὼρ ἐκχυθέντος, γλυκυτάτου φωτισμοῦ δὸς σῇ ποίμνῃ, ἵνα τὸν Σωτῆρα, ὑμνῇ εἰς τοὺς αἰῶνας.

ΤΛῦε πανσόφως, κατὰ τῆς Μάνδρας σου Πάτερ, ἐπηρείας πάσας στρεφομένας, ἵνα ὑμνῳδῶμεν, Θεὸν εἰς τοὺς αἰῶνας.

Εὐρανοβάτας, τὰ σὰ τέκνα παμμάκαρ, τῆς ἀγάπης δικτύῳ ἐφελκύων, δεῖξον μελῳδοῦντα, Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Κτερέωσόν σου, τὴν Μετεώρου Παρθένε, κληρουχίαν βοῶσαν τῷ Κυρίῳ, σὺν ᾿Αθανασίῳ, ᾠδὰς εἰς τοὺς αἰῶνας.

Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Νγάπης τὴν λαμπάδα, τήρει ἐν καρδίαις, τῶν σῶν τεκνίων ἀείφωτον Ὅσιε, πρὸς τὸν Θεὸν καὶ τὸν πέλας, ὡς προστετάγμεθα.

᾿Ιθύνας φοιτητάς σου, τοὺς ἐν Πλατυλίθῳ, πρὸς πλατυσμὸν οὐρανῶν ᾿Αθανάσιε, καὶ αὖθις Πάτερ ὁδήγει, πρὸς τὸν Ποθούμενον.

Ὁ δοὺς Κυρίῳ δῶρα, πλήθη μοναζόντων, καὶ σὺν αὐτοῖς καὶ ἡμᾶς Πάτερ τήρησον, ἐν ἀκτησίᾳ παρθένους, καὶ ὑπακούοντας.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀθάνατον εὐχαῖς σου, εὕροιμεν Παρθένε, τὸν γλυκασμὸν Ἰησοῦ τὸν ἡδύτατον, Οὗ ἐντρυφᾷ ἀθανάτως, ἡμῶν ὁ Πρώταρχος.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

καὶ τὰ Μεγαλυνάρια, ὧν ἡ ἀκροστιχίς·
*"ΑΘΑΝΑΣΙΩ.."*

Ἅπαντα τὸν βίον μου ὁ πτωχός, ἔβαλον ὡς χήρα, ἐν τῇ γάζῃ σῆς πατρικῆς, παμπλουσίας θήκης, ἐκ Πνεύματος χρυσίου, ἵνα πλουτήσω Πάτερ, ἐξ οἰκειότητος.

Θεῖον θαῦμα πᾶσι τοῖς μονασταῖς, ἡ σὴ πολιτεία, Ἀθανάσιε θαυμαστέ, Μετεώρου Κτῖτορ, καθηγητὰ θεόφρον, ὃ φρούρει ὡς πλουτοῦν σου, τὰ θεῖα λείψανα.

Ἄνω σου ὑψώσας καρδίαν νοῦν, ἄγγελος καθάπερ, ἐπετάσθης πρὸς οὐρανόν, Πάτερ οὐρανόν σου, τὸν ἔνδον φωταυγείαις, τοῦ Μεταμορφωθέντος, σφόδρα φωτίσαντος.

Νήψεως ἐργάτα θεουργικῆς, χάρισαι σοῖς τέκνοις, νήφειν πάντοτε ὥσπερ σύ, καὶ μὴ τῶν παρόντων, ἐφέλκυσθαι κνωδάλοις, ἅπερ τῇ πατρικῇ σου, σφενδόνῃ μάκρυνον.

Ἄλλης βασιλείας τῆς τοῦ Χριστοῦ, ἐραστὴς παμμάκαρ, Ἰωάσαφ τὸν θαυμαστόν, εἵλκυσας πανσόφως, τριβώνιον Κυρίου, ἀντὶ τῆς ἀλουργίδος, φορέσαι ἅγιον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στύλον σε εἰδότες οὐχ ὑλικόν, οὐ τῇ Λιθουπόλει, ἀλλὰ πόλει τῇ τοῦ Θεοῦ, στηρίζοντα Πάτερ, τὴν σὴν κληρονομίαν, εὐχαῖς σου ἀθανάτοις, ποιμὴν ὡς ἄριστος.

Ἱλαρῶς προσφέρομεν ὀφειλήν, σοὶ Ἀθανασίῳ, τῷ Πατρὶ καὶ καθηγητῇ, Κτίτορι Προστάτῃ, καὶ ὁδηγῷ ἐνθέῳ, εὐχήν σου τὴν ἁγίαν, ἀπεκδεχόμενοι.

Ὦ τῶν Μετεώρων συναγωγή, Πατέρων Ὁσίων, οἱ τυχόντες ζωῆς Χριστοῦ, ἐν μέσῳ χοράρχην, τὸν τῆς ἀθανασίας, ἐπώνυμον λαβόντες, ἡμᾶς στηρίξατε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον κλπ.

Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάσας τὰς βαθμίδας ἀκλινῶς, Κλίμακος τῆς θείας παμμάκαρ, ὑπερφυῶς ἀνελθών, Πάτερ Ἀθανάσιε, ἡμᾶς εὐλόγησον, καὶ τῷ πόθῳ προστρέχοντας, τῇ θείᾳ σου σκέπῃ, ἄνω συνεισάγαγε, τοῦ Μετεώρου στρουθούς· ἕν γὰρ κάτω στάδιον σχόντες, καὶ τῆς ἀμβροσίας τοῦ Δείπνου, σὺν τῇ Ὁσιότητί σου πάντες τύχοιμεν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

* * *

## Στίχοι

*Πάτερ μου ἀπετόλμησα γραφίδι σοι συνθέσθαι*
*ἱκέσιον παράκλησιν ὁ πήλινος τῷ θείῳ.*
*Ὁμωνυμῶν εὐχαριστῶ, ἀλλὰ μακράν σου πέλω,*
*τῇ ἀμελείᾳ παρορῶν τῆς κλήσεως εὐθύνας.*
*Μὴ ἀποδοκιμάσῃς με τὸ σκύβαλον ὁ Μέγας.*
*Ἔλαιον χέε τῇ ψυχῇ ὡς σβεννυμένῳ λύχνῳ,*
*πόῤῥω εὑρισκομένῳ σου καὶ σώματι καὶ πράξει.*
*Ὅμως πατήρ μου πέλεις σὺ κἀγὼ τέκνον ὑπάρχω·*
*ὅσα Θεὸς συνέδησεν τίς ἆρα καταργήσει;*
*Γονυκλιτῶς ἀσπάζομαι σοὺς παναγίους πόδας,*
*οἳ νῦν φωτὸς πιμπλάμενοι ἀλήκτως Θαβωρίου*
*περιπατοῖεν καὶ ἡμῶν ἐν ταῖς καρδίαις Πάτερ.*
*Τὴν δὲ τοῦ Μετεώρου σου ζώωσον Μάνδραν τρόποις,*
*οἷς σὺ καλῶς ἐπίστασαι, Καθηγητὰ καὶ Κτῖτορ.*
*Πάτερ, Πάτερ γλυκύτατε, συγχώρησίν μοι δίδου.*

*Ἀμήν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ